Ακαδημία Αθηνών / Academy of Athens



*ἔχωσι προικίζειν διατετιμημένως μέχρι δύο χιλιάδων καὶ πεντακοσίων γροσίων. Εἰ δὲ τῆς τρίτης τελοῦσι τάξεως, ἔχουσι προικοδοτεῖν τὰ πάντα χίλια πεντακόσια γρόσια, καὶ μηδένα τῶν ἐκ τῆς τριττῆς τάξεως τολμᾶν ὅλως ὑπερβαίνειν τὸν ἐν ἑκάστῃ διορισθέντα ἀριθμὸν τῆς προικοδοσίας. Τοὺς δὲ κατωτέρω τούτων ὑπάρχοντας καὶ μὴ ἐξαρκοῦντας προικοδοτῆσαι μέχρι τῶν τριῶν πουγγείων, ἔχειν ἄδειαν ἀδιορίστως δι' ὀλιγωτέρας ποσότητος ὑπανδρεύειν τὰς θυγατέρας αὐτῶν, ἐφ' ὅσον ἂν ἐφικνεῖται ἡ ἑκάστου δύναμις . . . Οὔτ' οὖν οἱ προικίζοντες γονεῖς τολμάτωσαν τὸν ἀνωτέρω διορισθέντα ἀριθμὸν ἀθετῆσαι, καί, ἢ φανερῶς, ἢ κρυφίως, ἢ ἐμμέσως, ἢ ἀμέσως, οἱᾳδήτινι ἄλλῃ μηχανῇ καὶ ὑποσχέσει, ἢ πρὸ τοῦ γάμου, ἢ μετὰ τὸν γάμον, ἐπ' ὀνόματι προικοδοσίας, ἢ δοῦναι, ἢ ὑπόσχεσθαι, ἢ διὰ λόγου, ἢ ἐγγράφως, περισσότερα . . . Ὅς δ' ἂν τις καὶ ὁποῖος, ὑπὸ κενοδοξίας πεφυσημένος τολμήσοι τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς ἀθετῆσαι καὶ παραβῆναι τὸν κοινῶς παρὰ τῆς πολιτείας καὶ ἡμῶν διαταχθέντα ὅρον τοῦτον . . . ὁ τοιοῦτος, ὁποῖός ποτ' ἂν ᾖ, ὡς προδότης τῆς κοινῆς συστάσεως καὶ ὠφελείας, ὡς ἐχθρὸς τῆς πολιτείας, καὶ ἀναιρέτης τῆς καλῆς συμφωνίας, ὡς ὑβριστὴς τοῦ μυστηρίου, καὶ ἑνὶ λόγῳ ὡς κοινὸς λυμεών, ἀφωρισμένος εἴη . . .».*

## 338

1736–1744. Γράμμα πΚ. Νεοφύτου Ϛ', δι' οὗ ἀνακαλεῖται ἡ περὶ περιορισμοῦ τῶν προικοδοσιῶν διάταξις,

ἐν *70*, Β', σ. 444–446.

*»... (τὸ) ἡμέτερον πατριαρχικὸν συνοδικὸν (γράμμα) . . . ἔμπης οὐκ ἴσχυσεν ἐνεργηθῆναι τὸ παράπαν καὶ διαφυλαχθῆναι, διά τε τὴν φθάσασαν ὁπωσδήπως ὑπερισχῦσαι καὶ ἐπικρατῆσαι συνήθειαν τῆς ἐν προικοδοσίαις ὑπερβολῆς . . . τοῦ πολιτικοῦ καὶ ἀρχοντικοῦ συστήματος μὴ ὁμοφωνοῦντος, μηδὲ συναινοῦντος ἐπὶ τῷ τοιούτῳ διορισμῷ, ἧς ἕνεκα διαφωνίας συμβαίνει ἐξ ἀνάγκης γίνεσθαι τὰ γαμικὰ συναλλάγματα μετὰ προικοδοσίας, μὴ φυλαττούσης τὸν γεγονότα διορισμόν, . . . οὗ ἕνεκα, δευτέρας σκέψεως ἐκκλησιαστικῆς γενομένης, ἐπειδὴ ὁ προγεγονὼς περὶ τῆς προικὸς ὅρος, καίτοι καλῶς συντελεσθεὶς ὡς πρὸς κοινὴν ὠφέλειαν ἀφορῶν, . . . ὡς μήτε φυλαχθεὶς ἄχρι τοῦδε, μήτε εὐλογηθεὶς τὸ παράπαν, ἀλλ' οὔτε εἰς τὸ ἑξῆς φυλαχθῆναί τε καὶ ἐνεργηθῆναι οἷός τε ὤν, ὑπάρχῃ ἄκυρος τοῦ λοιποῦ . . . καὶ τὸ προεκδοθὲν περὶ τούτου ἐκκλησιαστικὸν ἡμῶν γράμμα μένῃ κἀκεῖνο ἄκυρον καὶ ἀνενέργητον . . .».*

## 339

1737. Διάταξις πΚ. Νεοφύτου Ϛ', πρὸς μ. Ἀθηνῶν Ζαχαρίαν, περὶ ὅρου προικοδοσίας,

ἐν *70*, Β', σ. 446–451 καὶ ἐν *169*, Α', σ. 139–144.

(Προὶξ α' τάξεως 1500 γρόσια· αἱ τάξεις β' καὶ γ' ὀλιγώτερον).

## 340

1737. Προικοσύμφωνον 3 Φεβρ., ἐν Παροικίᾳ Πάρου,

ἐν *57*, σ. 166.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ